Τραϊανουπόλεως Μητροπόλεως 1357

Περιθεωρίου

Η σύνοδος δίδει εἰς τὸν μητρ. Τραϊανουπόλεως λό-
γῳ ἐπιδόσεως καθ' ὅλην ζωὴν τὴν χηρεύουσαν ἐκκλη-
σίαν Περιθεωρίου.

† Ἡ μετριότης ἡμῶν, ὁμοῦ μὲν προνοουμένη τοῦ ἱ- Acta Patr.
ερωτάτου μητροπολίτου Τραϊανουπόλεως, ὑπερτίμου, ἀγα- Cont. T. A'
πητοῦ κατὰ κύριον ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν σ. 525
μετριότητος, καὶ τὸ πρόσωπον ἔχοντος ἀκατοίκητον ἀπὸ
τῆς παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἐπελθού-
σης τοῖς πράγμασιν ἀνωμαλίας καὶ συγχύσεως, ὁμοῦ δὲ
καὶ τοῦ ἐν τῷ Περιθεωρίῳ χριστωνύμου λαοῦ προνοου-
μένη, χηρευούσης ἤδη τῆς ἐκεῖσε ἁγιωτάτης ἐκ-
κλησίας, ὡς ἂν καὶ οὗτοι ἀρχιερατικῆς ἀπολαύωσιν ἐ-
πιστασίας καὶ ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἐ-
πειδὴ ἀπὸ τῆς προσούσης αὐτῷ ἀρετῆς καὶ περὶ τὰ πνευ-
ματικὰ ἐπιστήμης καὶ τῶν λοιπῶν θεοφιλῶν προτερημά-
των καὶ τῆς καθαρᾶς εὐνοίας, ἣν κατὰ τὸ εἰκὸς καὶ ὀ-
φειλόμενον ἔδειξε καὶ δεικνύει μετὰ τοῦ προσήκοντος ζή-
λου τῷ ἁγίῳ κράτει τοῦ κρατίστου καὶ ἁγίου μου αὐ-
τοκράτορος, πολλὴν ὠφέλειαν μέλλει προξενεῖν τῷ τοιού-
τῳ λαῷ, συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριό-
της ἡμῶν συνοδικῶς μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων

ἀρχιερέων, τοῦ Φιλαδελφείας, τοῦ Μελενίκου, τοῦ
Ποντοηρακλείας, τοῦ Ῥόδου, τοῦ Σηλυβρίας, τοῦ Ἄ-
σπρω, τοῦ Αἴνου, τοῦ Βρύσεως, τοῦ Τενέδου καὶ τοῦ Μά-
κρης, ἐπεὶ καὶ ὀφειλομένως ἔχομεν ἐπικουρεῖν καὶ κα-
τὰ τὸ δυνατὸν συνεφάπτεσθαι τοῖς ἀδελφὰ φρονοῦσιν
ἡμῖν καὶ τὰς ἐκκλησιαστικὰς φροντίδας συνδιαφέρου-
σιν ἐν τοῖς ἀναγκαίοις καὶ κατεπείγουσι, διὰ ταῦ-
τα κατεπράξατο γνώμῃ κοινῇ ἐπιλαβέσθαι καὶ κα-
τασχεῖν τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Τραϊ-
ανουπόλεως καὶ ἰσόβιον ἐπιδόσεως λόγῳ χηρευούσης,
ὡς εἴρηται, τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας Περι-
θεωρίου ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, πολλῷ γὰρ μᾶλλον
δίκαιον ἂν εἴη ἐκ τῶν ἐνόντων αὐτῷ περιγενέσθαι
βοήθειαν ἢ ἐκ τῶν ἀλλοτρίων ἐπιζητεῖν· ἐπιλήψε-
ται τοίνυν αὐτῆς μετὰ πάντων τῶν ὑπ' αὐτὴν κτη-
μάτων καὶ πραγμάτων, ἱερουργήσει τε ἐν αὐτῇ καὶ ἀ-
ναγνώστας σφραγίσει καὶ ὑποδιακόνους καὶ διακόνους καὶ
ἱερεῖς ἀπὸ τῶν ὑπ' αὐτὴν χειροτονήσει, καὶ πάντα δι-
απράξεται ἀκωλύτως, ὅσα καὶ γνήσιος ταύτης ἀρχιερεύς
δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὀφει-
λόντων τῶν κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἱ-
ερωμένων, ἀρχόντων, μοναχῶν καὶ λαϊκῶν τὸ προσῆ-
κον αὐτῷ σέβας καὶ τὴν τιμὴν ἀποδιδόναι καὶ ὑ-
πείκειν, ἐφ' οἷς πρὸς αὐτοὺς μέλλει λέγειν καὶ εἰση-

γίνεσθαι ἀφορῶσιν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν. 176
εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Τραϊανουπόλεως καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, ἐπιδέδοται †.

† ͵ϛ διχε' τῷ μηνὶ δεκεμβρίῳ ἰνδ. β' διὰ τιμίας πατριαρχικῆς χειρός †.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ